προσδεῖσθαι· τεκτονικὸν μὲν γὰρ ἢ χαλκευτικὸν ἢ γεωργικὸν ἢ ἀνθρώπων ἀρχικὸν ἢ τῶν τοιούτων ἔργων ἐξεταστικὸν ἢ λογιστικὸν ἢ οἰκονομικὸν ἢ στρατηγικὸν γενέσθαι, πάντα τὰ τοιαῦτα μαθήματα καὶ
ἀνθρώπου γνώμῃ αἱρετὰ ἐνόμιζεν εἶναι· τὰ δὲ μέγιστα 8
τῶν ἐν τούτοις ἔφη τοὺς θεοὺς ἑαυτοῖς καταλείπεσθαι, ὧν οὐδὲν δῆλον εἶναι τοῖς ἀνθρώποις. οὔτε γὰρ τῷ καλῶς ἀγρὸν φυτευσαμένῳ δῆλον ὅστις καρπώσεται, οὔτε τῷ καλῶς οἰκίαν οἰκοδομησαμένῳ δῆλον ὅστις ἐνοικήσει, οὔτε τῷ στρατηγικῷ δῆλον εἰ συμφέρει στρατηγεῖν, οὔτε τῷ πολιτικῷ δῆλον εἰ συμφέρει τῆς πόλεως προστατεῖν, οὔτε τῷ καλὴν γήμαντι, ἵν' εὐφραίνηται, δῆλον εἰ διὰ ταύτην ἀνιάσεται, οὔτε τῷ δυνατοὺς ἐν τῇ πόλει κηδεστὰς λαβόντι δῆλον εἰ διὰ
τούτους στερήσεται τῆς πόλεως. τοὺς δὲ μηδὲν τῶν 9
τοιούτων οἰομένους εἶναι δαιμόνιον, ἀλλὰ πάντα τῆς ἀνθρωπίνης γνώμης, δαιμονᾶν ἔφη· δαιμονᾶν δὲ καὶ τοὺς μαντευομένους ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ θεοὶ μαθοῦσι διακρίνειν, οἷον εἴ τις ἐπερωτῴη πότερον ἐπιστάμενον ἡνιοχεῖν ἐπὶ ζεῦγος λαβεῖν κρεῖττον ἢ μὴ ἐπιστάμενον, ἢ πότερον ἐπιστάμενον κυβερνᾶν ἐπὶ τὴν ναῦν κρεῖττον λαβεῖν ἢ μὴ ἐπιστάμενον, ἢ ἃ ἔξεστιν ἀριθμήσαντας ἢ μετρήσαντας ἢ στήσαντας εἰδέναι,

---

1 τεκτονικὸν γὰρ μόνον ἢ **Y** 2 ἢ ἀνθρώπων ἀρχικὸν transponi voluit Weiske, del. Gilbert 3 ἢ λογιστικὸν (λογικὸν **B**[1]) om. **A** 4 μαθήματα (μαθητὰ Cobet) καὶ om. **H** 5 αἱρετὰ **B**[1] αἱρετέα rell. τὸ δὲ μέγιστον **MORZ** 7 τῷ] τοι **RX** 8 καλῶ **O** ἁγνὸν **Y** ἀγρῶ **Z** φυτευσάμενον **RX** 10 οἰκήσει **B**[1]**Φ** συμφέροι **BO** 11 συμφέροι **B** 15 τῆς πόλεως στερήσεται **B** μηδὲν τοιοῦτον **A** 16 εἶναι τὸ δαιμόνιον **Y** 20 ἡνιοχεῖν . . . ἐπιστάμενον (21) om. **A** κρεῖττον om. **B**[1] 21 ἢ πότερον . . . ἐπιστάμενον (22) om. **Z** ἐπὶ om. **X** 22 τὴν del. Hirschig λαβεῖν κρεῖττον **Y**